# 92. WHO IS THE GREATEST? (Matt-Lk Identicals)

| Matt 18:1-5 | Luke 9:46-48 |
|---|---|
| *Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ* | |
| *λέγοντες,* | *Εἰσῆλθεν δὲ διαλογισμὸς ἐν αὐτοῖς,* |
| *Τίς ἄρα μείζων ἐστὶν* | *τὸ τίς ἂν εἴη μείζων αὐτῶν.* |
| *ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν* | |
| | *47 ὁ δὲ Ἰησοῦς εἰδὼς τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν* |
| *2 καὶ προσκαλεσάμενος* | *ἐπιλαβόμενος* |
| *παιδίον* | *παιδίον* |
| *ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν* | *ἔστησεν αὐτὸ παρ ἑαυτῷ,* |
| *3 καὶ* | *48 καὶ* |
| *εἶπεν,* | *εἶπεν αὐτοῖς,* |
| *Ἀμὴν λέγω ὑμῖν,* | |
| *ἐὰν μὴ στραφῆτε καὶ γένησθε* | |
| *ὡς τὰ παιδία,* | |
| *οὐ μὴ εἰσέλθητε* | |
| *εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.* | |
| *4 ὅστις οὖν ταπεινώσει ἑαυτὸν* | |
| *ὡς τὸ παιδίον τοῦτο,* | |
| *οὗτός ἐστιν ὁ μείζων* | |
| *ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.* | |
| *5 καὶ ὃς ἐὰν* | *Ὃς ἐὰν* |
| *δέξηται ἓν παιδίον τοιοῦτο* | *δέξηται τοῦτο τὸ παιδίον* |
| *ἐπὶ τῷ ὀνόματί μου,* | *ἐπὶ τῷ ὀνόματί μου* |
| *ἐμὲ δέχεται.* | *ἐμὲ δέχεται,* |
| | *καὶ ὃς ἂν ἐμὲ δέξηται* |
| | *δέχεται* |
| | *τὸν ἀποστείλαντά με·* |
| | *ὁ γὰρ μικρότερος ἐν πᾶσιν* |
| | *ὑμῖν ὑπάρχων οὗτός ἐστιν μέγας.* |

136 total words with 34 identicals = 35%